υἱοῖς αὐτοῦ Νῦν ἐστηρίσθη ὑπερηφανία καὶ ἐλεγμὸς καὶ καιρὸς
50 καταστροφῆς καὶ ὀργὴ θυμοῦ. 50 νῦν, τέκνα, ζηλώσατε τῷ νόμῳ
51 καὶ δότε τὰς ψυχὰς ὑμῶν ὑπὲρ διαθήκης πατέρων ἡμῶν 51 καὶ
μνήσθητε τὰ ἔργα τῶν πατέρων, ἃ ἐποίησαν ἐν ταῖς γενεαῖς αὐ-
52 τῶν, καὶ δέξασθε δόξαν μεγάλην καὶ ὄνομα αἰώνιον. 52 Αβρααμ οὐχὶ
ἐν πειρασμῷ εὑρέθη πιστός, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην;
53 53 Ιωσηφ ἐν καιρῷ στενοχωρίας αὐτοῦ ἐφύλαξεν ἐντολὴν καὶ ἐγένετο
54 κύριος Αἰγύπτου. 54 Φινεες ὁ πατὴρ ἡμῶν ἐν τῷ ζηλῶσαι ζῆλον
55 ἔλαβεν διαθήκην ἱερωσύνης αἰωνίας. 55 Ἰησοῦς ἐν τῷ πληρῶσαι
56 λόγον ἐγένετο κριτὴς ἐν Ισραηλ. 56 Χαλεβ ἐν τῷ μαρτύρασθαι ἐν
57 τῇ ἐκκλησίᾳ ἔλαβεν γῆς κληρονομίαν. 57 Δαυιδ ἐν τῷ ἐλέει αὐτοῦ
58 ἐκληρονόμησεν θρόνον βασιλείας εἰς αἰῶνας. 58 Ηλιας ἐν τῷ ζηλῶ-
59 σαι ζῆλον νόμου ἀνελήμφθη εἰς τὸν οὐρανόν. 59 Ανανιας, Αζαριας,
60 Μισαηλ πιστεύσαντες ἐσώθησαν ἐκ φλογός. 60 Δανιηλ ἐν τῇ ἁπλό-
61 τητι αὐτοῦ ἐρρύσθη ἐκ στόματος λεόντων. 61 καὶ οὕτως ἐννοήθητε
κατὰ γενεὰν καὶ γενεάν, ὅτι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτὸν οὐκ
62 ἀσθενήσουσιν. 62 καὶ ἀπὸ λόγων ἀνδρὸς ἁμαρτωλοῦ μὴ φοβηθῆτε,
63 ὅτι ἡ δόξα αὐτοῦ εἰς κόπρια καὶ εἰς σκώληκας· 63 σήμερον ἐπαρ-
θήσεται καὶ αὔριον οὐ μὴ εὑρεθῇ, ὅτι ἐπέστρεψεν εἰς τὸν χοῦν
64 αὐτοῦ, καὶ ὁ διαλογισμὸς αὐτοῦ ἀπολεῖται. 64 τέκνα, ἀνδρίζεσθε
65 καὶ ἰσχύσατε ἐν τῷ νόμῳ, ὅτι ἐν αὐτῷ δοξασθήσεσθε. 65 καὶ ἰδοὺ
Συμεων ὁ ἀδελφὸς ὑμῶν, οἶδα ὅτι ἀνὴρ βουλῆς ἐστιν, αὐτοῦ
66 ἀκούετε πάσας τὰς ἡμέρας, αὐτὸς ἔσται ὑμῶν πατήρ. 66 καὶ Ιουδας
Μακκαβαῖος ἰσχυρὸς δυνάμει ἐκ νεότητος αὐτοῦ, αὐτὸς ἔσται ὑμῖν
67 ἄρχων στρατιᾶς καὶ πολεμήσει πόλεμον λαῶν. 67 καὶ ὑμεῖς προσ-
άξετε πρὸς ὑμᾶς πάντας τοὺς ποιητὰς τοῦ νόμου καὶ ἐκδικήσατε
68 ἐκδίκησιν τοῦ λαοῦ ὑμῶν· 68 ἀνταπόδοτε ἀνταπόδομα τοῖς ἔθνεσιν
69 καὶ προσέχετε εἰς πρόσταγμα τοῦ νόμου. — 69 καὶ εὐλόγησεν αὐ-
70 τούς· καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ. 70 καὶ ἀπέθανεν ἐν
τῷ ἕκτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει καὶ ἐτάφη ἐν τάφοις

50 init.] pr. και A | fin. ημων] υμ. S || 51 και $1^0$ > A | τα εργα των πατ.] των πατ. ημων τα εργα A | εν > A† | ονομα] δοξαν A† || 52 εις δικ.] δικαιοσυνη A† || 54 διαθηκην] κληρον -κης S† | ιερωσυνης αιωνιας] tr. S† | αιωνιας] αγιας A || 56 μαρτυρασθαι] pr. επι A pl. | εν $2^0$ > A | γης] γην A†, την S† || 57 εις αιωνας] αιωνιας A || 58 ζηλον νομου] νομον ζηλους S† | εις] pr. ως A: cf. Regn. IV 2 1 || 60 λεοντος S || 61 και γενεαν > A || 63 αυριον > A† | οτι] και S† | fin. απωλετο A || 64 init. S* La†] pr. και υμεις rel. | ανδριζεσθε .. ισχυσατε(A ε pro σα)] tr. A | νομω] + υμων A || 65 εσται υμων πατηρ SV†] υμιν εσται εις πατερα uel sim. rel. || 66 μακκαβαιος] pr. ο A | ισχυρος] pr. αυτος A | δυναμει] -μιν S*†, εν δυν. αυτος (sic) A† | αυτου > S† | αυτος] ουτος A, > La† | εσται υμιν S La†] tr. rel. | αρχων] εις αρχοντα A | πολεμησει] -σετε A || 68 ανταποδιδοτε A† | προσταγμα] -ματα A || 69 αυτου] -των S*† || 70 εκτω] γ' (= τριτω) S*† | εταφη S La†] εθαψαν αυτον οι υιοι αυτου rel.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1098 UNIVERSITÄT LEIPZIG